τῆς πίστεως πᾶσαι καὶ αἱ γραφαὶ τῶν ἁγίων καὶ αἱ σύνοδοι τῷ ἡμετέρῳ συναγωνίζονται λόγῳ, τοῦτο δὴ καί ἐστιν ἀληθές.

### ΑΡΓΥΡΟΠΟΥΛΟΣ

Διὸ καὶ ἀρχοειδῶς μὲν καὶ προηγουμένως, φαίην δ' ἂν καὶ προκαταρκικῶς καὶ [ἀρχικῶς καὶ] κυρίως ἐκ τοῦ πατρὸς προϊέναι φησὶ τὸ Πνεῦμα τὸ ἅγιον, ἐξ υἱοῦ δὲ οὐχ οὕτω, κἂν [καὶ] ἐξ αὐτοῦ τῇ αὐτῇ παράγηται δυνάμει καὶ προβολῇ.

### ΑΓΑΛΛΙΑΝΟΣ

Ἰδοὺ καὶ ἕτερον λάκκον ὤρυξε καὶ ἐνέπεσεν εἰς αὐτὸν, τὸ ψαλμικὸν, ἀνακεκαλυμμένῃ κεφαλῇ, τὸ διττὸν τῆς ἀρχῆς παραδούς. Καὶ πρῶτον μὲν, ὅπως ἐνίων ἀκοὰς ὑποφθείρῃ, τάς τινων ἁγίων φωνὰς συμφορήσας προέταξεν, κυρίως καὶ ἀρχικῶς καὶ προκαταρκτικῶς καὶ ἀρχοειδῶς εἰπὼν ἐκ τοῦ πατρὸς προϊέναι τὸ Πνεῦμα τὸ ἅγιον, εἶτ' ἐπήγαγεν Ἐξ υἱοῦ δὲ οὐχ οὕτως.

Ἀλλ' οἱ ταῦτα εἰπόντες, ὦ βέλτιστε, οὔτε αἴτιον, οὔτε ἀρχὴν, οὔτε συναίτιον, οὔτε προβολέα τὸν υἱὸν τοῦ ἁγίου Πνεύματος ἐδογμάτισαν. Ὥστε ταῦτα τὰ ἐπιρρήματα, διαφόρως τισὶ τῶν ἁγίων εἰρημένα, ἀνθ' ἑνός ἐστι, τοῦ Μόνως. Καὶ ταὐτὸν ἂν δύναιτο τὸ Κυρίως ἐκ τοῦ πατρὸς ἐκπορεύεται τῷ Μόνως ἐκ τοῦ πατρὸς ἔχειν τὴν ὕπαρξιν τὸ Πνεῦμα τὸ ἅγιον. Διὰ γοῦν τῶν τοιούτων ἐπιρρημάτων ἀποκληροῦσι τὸν υἱὸν τῆς τοιαύτης αἰτίας, μόνον τὴν πρὸς τὴν κτίσιν πρόοδον τοῦ ἁγίου Πνεύματος ἐξ αὐτοῦ δοξάζοντες, ἣν χρονικὴν ἀποστολὴν εἴποιτε ἂν ὑμεῖς μετὰ τοῦ Θωμᾶ. Σὺ δὲ τὴν ξυνεπτυγμένην ἐκείνων θεολογίαν κατὰ τὸ σοὶ δοκοῦν

2. καί ἐστιν ἔγραψα: καὶ ἐστὶν Δ: καὶ ἔστιν Μ   5. ἀρχικῶς καὶ σ. 121, 9: λείπουσι ΔΜ   6. καὶ σ. 121, 11: λείπει ΔΜ   7. παράγηται σ. 121, 11 καὶ Μ: παράγεται Δ   11. τάς τινων Μ: τὰς τινῶν Δ   18. ἑνός ἐστι Μ: ἑνὸς ἐστὶ Δ

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2007

ἀνέπτυξας δόγμα κυρῶν κἀκείνοις ἄγνωστον καὶ τοῖς λόγοις τῆς ὀρθοδοξίας ἀντίπαλον. Πῶς γὰρ ἂν καὶ ἐφρόνουν τοῦτο οἱ θειότατοι πατέρες ἐκεῖνοι, μήτ' ἐκ τῆς θείας παραδόσεως τοῦτ' εἰληφότες, μητ' ἀπὸ τῆς ἀποστολικῆς διδασκαλίας, μήτε παρὰ τῆς ἐκκλησίας αὐτῆς, τοὐναντίον μὲν οὖν ὅρον εἰληφότες μυρίοις δεσμοῖς καὶ ἐπιτιμίοις κατωχυρωμένον, τὸ Πνεῦμα τὸ ἅγιον ἐκ τοῦ πατρὸς μὲν ἐκπορεύεσθαι, πατρὶ δὲ καὶ υἱῷ συμπροςκυνεῖσθαι καὶ συνδοξάζεσθαι καὶ φρονεῖν καὶ κηρύττειν;

Λίαν δὲ καὶ τολμηρά μοι δοκεῖ ἡ ἐπαγωγὴ ἣν ἐπήγαγες, Ἐξ υἱοῦ δὲ οὐχ οὕτως εἰπών. Ἐκ τούτου γὰρ τὸ διττὸν τῆς αἰτίας πρόδηλον. Εἰ γὰρ ἄλλως μέν ἐστιν ὁ πατὴρ ἀρχὴ ἡ τοῦ ἁγίου Πνεύματος, ἄλλως δὲ ὁ υἱὸς, τὸ δ' ἄλλως καὶ ἄλλως διαφορὰν εἰςάγει, σὺ δὲ τοῦθ' οὕτω πιστεύεις, περιπέπτωκας τῇ δυαρχίᾳ δήπου. Πῶς γὰρ ἡ αὐτὴ καὶ μία εἴη ἂν ἀρχὴ, διακεκριμένων ὄντων τῶν προσώπων, προαγόντων δὲ οὐ καθό εἰσιν ἐν τῇ οὐσίᾳ καὶ διαφόρων ὄντων τῶν τρόπων τῆς προαγωγῆς; Τὸ δὲ τῇ αὐτῇ δυνάμει καὶ προβολῇ ταὐτό μοι δοκεῖ δύνασθαι τῷ φάναι τινὰ δύο τέκτονας συνελθόντας τῇ ἐν σφίσιν αὐτοῖς μιᾷ δυνάμει τῆς αὐτῆς τέχνης μίαν κλίνην συνθεῖναι, ὃ πάσης βλασφημίας οὐ χαλεπὸν συνιέναι τοὺς σώφρονας.

## ΑΡΓΥΡΟΠΟΥΛΟΣ

Ὅθεν καὶ εἴ που τὸν υἱὸν ἀρχὴν καὶ αἰτίαν φησὶν ἢ ξυγχωρεῖ λέγειν τῆς τοῦ Πνεύματος ὑποστάσεως, καθάπερ ἐν τῷ ὅρῳ τῆς ἱερᾶς καθολικῆς η' συνόδου τῆς ἐν Φλωρεντίᾳ γέγραπται, οὐχ

3. πατέρες Δ: λείπει Μ    11. μέν ἐστι ἔγραψα: μὲν ἐστὶν Δ: μὲν ἔστιν Μ    14. διακεκριμένων ἔγραψα: διακεκριμμένων ΔΜ: 15. καθό εἰσιν Μ: καθὸ εἰσὶν Δ    17. ταὐτό Δ: ταυτό Μ φάναι Μ: φᾶναι Δ    22. καὶ σ. 122, 3 καὶ Δ: δὲ Μ    23. λέγειν ἔγραψα κατὰ σ. 122, 3: λέγων ΔΜ

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2007

ἁπλῶς ἀρχὴν οὐδ' αἰτίαν βούλεται εἶναι αὐτόν, ἀλλ' ἀρχὴν ἐξ ἀρχῆς καὶ αἰτίαν ἢ αἴτιον ὡς συναίτιον.

ΑΓΑΛΛΙΑΝΟΣ

Ὡς χάριεν ἂν ἦν τῆς συνόδου ταύτης τοῦτο, εἴ γε δεῖ ταύτην οὕτω καλεῖσθαι, καὶ ὅσα προσέθηκεν οὗτος ἀκούειν, ἀλλὰ μὴ τοὐναντίον ἅπαν, εἰ σὺν τοῖς ἄλλοις καὶ ταύτην τὴν βλασφημίαν ἐξενηνόχει.

ΑΡΓΥΡΟΠΟΥΛΟΣ

Ἁπλῶς ἀρχὴν καὶ αἰτιατὸν υἱὸν δογματίσασα· οὕτω γὰρ ἂν καὶ πᾶσαν αἵρεσιν τῇ δυςσεβείᾳ ὑπερηκόντισεν.

ΑΓΑΛΛΙΑΝΟΣ

Εἰ γὰρ καὶ δύο αἰτίους ποιεῖ, τὸν αἴτιον καὶ συναίτιον, καὶ διὰ μέσης αὖ ὑποστάσεως θείας ὑφίστασθαι τὸ Πνεῦμα τὸ ἅγιον ἐκ τοῦ πατρὸς ἐθέσπισεν, τὸ δι' υἱοῦ προϊέναι οὕτως ἐκλαμβανομένη, καὶ συντάττει τὸ Πνεῦμα τοῖς ὅλοις, ὧν ἐστιν ἀρχὴ ἐξ ἀρχῆς ὁ υἱός. Ἀλλ' ἴσως ταῦτα εἰς ἀτοπίαν ἐκείνων ἐλάττω. Εἰ δέ γε δύο βλασφημίαι προκέοιντο, μείζων τε καὶ ἐλάττων, οὐ διὰ τοῦτο ἡ ἐλάττων αἱρετέα, ὅτι ἡ ἑτέρα σφοδρῶς ἀπείρηται, εἴπερ ὅλως κἀν τῇ ἱερᾷ θεολογίᾳ βαθμοὺς εἶναι δεῖ τῶν τοιούτων. Ἐπεὶ τῇ γε δυνάμει ἐπίσης πάντα τὸ κεφάλαιον ἀπόλλυσι κατὰ τὸν Θεολόγον Γρηγόριον, ἐν τῷ πρώτῳ τῶν Εἰρηνικῶν φάσκοντα Καὶ τὸ περικόψαι τι τῶν τριῶν ἢ ἀποξενῶσαι ἴσον ἡμῖν καὶ τὸ πᾶν ἀνε-

**1. οὐδ' σ. 122, 5 καὶ Μ: οὐ δι' Δ   2. αἰτίαν σ. 122, 6: αἰτίας ΔΜ   13. ὑφίστασθαι Δ: ὑφίσταται Μ   19. κἀν Μ: κὰν Δ   θεολογίᾳ Μ: θεογίᾳ Δ   22. τι Μ: τὶ Δ**

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2007

λεῖν καὶ κατὰ πάσης χωρῆσαι γυμνῇ τῇ κεφαλῇ τῆς θεότητος. Ἀλλὰ καὶ ὁ πολιτικός φησι νόμος Αἱρετικός ἐστι καὶ τοῖς αἱρετικῶν ὑπόκειται νόμοις ὁ μικρὸν γοῦν τι τῆς ὀρθῆς πίστεως παρεκκλίνων.

ΑΡΓΥΡΟΠΟΥΛΟΣ

Ἀντιφάσει γὰρ ἂν περιέπιπτον, εἰ οὕτως ἐνόει ταυτί, καὶ ἐξ υἱοῦ τὸ Πνεῦμα κηρύττουσα

ΑΓΑΛΛΙΑΝΟΣ

Καὶ πάνυ μὲν οὖν τῇ αὐτῇ ἀντιφάσει περιπίπτει καὶ νῦν, θεὸν ὁμολογοῦσα τὸ Πνεῦμα καὶ κτίσμα αὖ ποιοῦσα, ὅτι στερεῖ τοῦτο οὐσιώδους καὶ φυσικῆς δυνάμεως καὶ διὰ τοῦτο κοινῆς πατρὶ καὶ υἱῷ, τῆς προβλητικῆς, καὶ ἔτι διαφορὰν ἀρχῶν παραδιδοῦσα, τὸν μὲν πατέρα λέγουσα ἄναρχον ἀρχήν, τὸν δὲ υἱὸν ἀρχὴν ἐξ ἀρχῆς, ἥτις διαφορὰ τὴν δυαρχίαν εἰςάγει προδήλως.

ΑΡΓΥΡΟΠΟΥΛΟΣ

Μίαν αὐτή φησιν ἀρχὴν πρεσβεύειν τοῦ ἁγίου Πνεύματος.

ΑΓΑΛΛΙΑΝΟΣ

Ἀλλ' ὁ Θεολόγος Γρηγόριος οὐχ οὕτω παραδίδωσιν, οὐδὲ ἄναρχον ἀρχήν φησι τὸν πατέρα, ἵνα χώραν ἔχῃ ἡ καινὴ αὕτη θεολογία καὶ ὁ υἱὸς ἀρχὴ ἐξ ἀνάρχου εἴη ἔνδον ἐν τῇ θεότητι, ἀλλ' ἰδιότητα τοῦ πατρικοῦ προςώπου τὸ ἄναρχον καὶ τὴν ἀρχὴν

1. χωρῆσαι ἔγραψα: χωρίσαι ΔΜ  2 πολιτικός φησι Μ: πολιτικὸς φησὶ Δ  Αἱρετικός ἐστι Μ: αἱρετικὸς ἐστὶ Δ  3. τι Μ: τὶ Δ  19. ἀρχήν φησι Μ: ἀρχὴν φησὶ Δ

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2007

νοεῖ λέγων Αἱ δὲ ἰδιότητες πατρὸς μὲν καὶ ἀνάρχου καὶ ἀρχῆς ἐπινοουμένου υἱοῦ καὶ λεγομένου, υἱοῦ δὲ ἀνάρχου μὲν οὐδαμοῦ, ἀρχῆς δὲ τῶν ὅλων. Εἶτα πῶς οὐ δύο ἀρχὰς ποιεῖ, ἓν πρόσωπον τὸ Πνεῦμα πρὸς δύο ἀναφέρουσα πρόσωπα ὑποστατικῶς καὶ προσωπικῶς; Αἱ γὰρ ἔνδον ἀναφοραὶ προσώπων εἰσίν, οὐκ οὐσίας τε καὶ δυνάμεως.

### ΑΡΓΥΡΟΠΟΥΛΟΣ

Εἰ δὲ τούτων ὑφ᾽ ἡμῶν εἰρημένων τις ἀποροῖ, πρῶτον μὲν πῶς οὖν ὁ υἱὸς οὐ γεννᾷ καθάπερ δὴ καὶ προβάλλει, τῆς αὐτῆς μεταλαγχάνων γεννητικῆς δυνάμεως τῷ πατρί, ἢ πῶς τὸ Πνεῦμα τὸ ἅγιον οὔτε προβάλλει, οὔτε γεννᾷ, τῶν δυνάμεων ἑκατέρων οὐσῶν ἐν αὐτῷ καθάπερ ἐν πατρὶ καὶ υἱῷ.

### ΑΓΑΛΛΙΑΝΟΣ

Ἤδη νῦν ἀνακεκαλυμμένῃ τῇ κεφαλῇ τὸ ἀτόπημα ἐξέρρηξεν, ὅτι ὁ υἱὸς ἔχει τὴν γεννητικὴν δύναμιν τοῦ πατρὸς μετὰ τῆς προβλητικῆς, ὡσαύτως καὶ τὸ Πνεῦμα. Καὶ σκόπει τὸ καταναγκάσαν αὐτόν. Συναισθανόμενος, ὅτι, εἰ ὁ υἱὸς ἔχει τὴν προβλητικήν, δεῖ καὶ τὸ Πνεῦμα τὴν γεννητικὴν ἔχειν καὶ αὐτὴν ἔτι τὴν προβλητικήν, ὡς καὶ ὑφ᾽ ἡμῶν ἀεὶ λέγεται, δεῖν ἀκολουθεῖν ὡς ἄτοπα, εἰ ὁ υἱὸς εἴη προβολεύς, καὶ οὐκ ἔχων ἀποφυγεῖν, οὐ συγχωρεῖ τούτοις ὡς μὴ ἀτόποις· καὶ ἵνα δείξῃ ταῦτα μὴ ὄντα ἄτοπα, ἀδυναμίας μᾶλλον ἢ δυνάμεις ἀποδίδωσι τοῖς θείοις προσώποις καὶ στερήσεις καὶ τὰ τοιαῦτα.

Ἀπορίας γοῦν δῆθεν ἐκθέμενος δύο, ἵνα ταῖς λύσεσι κυρώσῃ τὰ ἀτοπήματα, οἷς ἄν τις ἐπαπορήσειε δικαίως, θεραπείας καὶ λύσεις ἐπιφέρει, δοκούσας μέν, οὐκ οὔσας δέ, ὥστ᾽ οὐδὲν μᾶλλον λύεσθαι τὰς ἀπορίας ἢ συνδεῖσθαι καρτερώτερον. Καὶ πρὸς μὲν

8. τις Μ: τὶς Δ    11 (δίς). οὔτε Μ: οὔτε Δ

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2007

τὴν πρώτην τῶν ἀποριῶν, ἣν καὶ φθάσαντες νῦν ἐξεθέμεθα, λύσιν ἀποδίδωσι ταύτην

### ΑΡΓΥΡΟΠΟΥΛΟΣ

Τοῦ πατρὸς τὸν υἱὸν γεννῶντος τῇ γεννητικῇ δυνάμει, καθάπερ ἐλέγομεν, ἡ γέννησις συνῆπται τῇ ἑαυτῆς [καὶ αὐτὴ] δυνάμει ᾗ ὁ υἱὸς, καὶ τὰ ἑξῆς.

### ΑΓΑΛΛΙΑΝΟΣ

Πρὸς ἃ δὴ καὶ ἡμεῖς ἀνταποκρινόμεθα λέγοντες οὕτως. Μίαν γέννησιν οἶδεν ὁ λόγος καλεῖν ἐν πατρὶ καὶ υἱῷ, οὐχ ὡςαύτως ἐν ἀμφοῖν θεωρουμένην. Ἡ μὲν γὰρ ἀπὸ τοῦ γεννᾶν εἰλημμένη ἐνεργητική ἐστι καὶ συνᾴδουσα τῷ συμπεπλεγμένῳ γνωριστικῷ, τῷ Πατὴρ ὀνόματι, ἡ δὲ ἀπὸ τοῦ γεννᾶσθαι καὶ συμφωνοῦσα τῷ Υἱὸς ὀνόματι, γεννητὴν ὑπόστασιν σημαίνοντι, οὐ γεννητικήν.

Ὡςαύτως οὖν καὶ ἡ δύναμις ἡ πρὸς τὸ γεννᾶν διαφέρει τῆς πρὸς τὸ γεννᾶσθαι δυνάμεως, ὧν ἡ μέν ἐστιν ἐν τῷ πατρὶ, ἡ δὲ ἐν τῷ υἱῷ. Καὶ, καθάπερ τὸ εἶναι τοῦ πατρὸς καὶ τὸ εἶναι τοῦ υἱοῦ ἕν ἐστι καὶ ταὐτὸ, ἀλλ' οὐ προςήκει τῷ υἱῷ εἶναι πατρὶ, οὐδὲ τὸ ἀνάπαλιν, οὕτως, εἰ καὶ τοῖς ἄλλοις πᾶσι θήσομεν εἶναι τὴν γεννητικὴν δύναμιν ἐν πατρὶ καὶ υἱῷ καὶ τὴν γέννησιν, ἀλλὰ τοῖς ὅροις διαφέρουσιν, ἀναφορικῶς διακρινομένοις, ὡς καὶ τὰ ἄλλα πάντα ἕν ἐστιν ἐν πατρὶ καὶ υἱῷ, πλὴν τῷ μὲν κατὰ τὴν τοῦ διδόντος ἀναφορὰν, τῷ δὲ κατὰ τὴν τοῦ λαμβάνοντος· καὶ οὕτως οὔτε τὴν ἐν τῷ πατρὶ γέννησιν, ἣ ἐν πατρὶ δεῖ εἶναι, ἐν τῷ υἱῷ, ἵνα μὴ ὁ πατὴρ ὁ υἱὸς εἴη, οὔτε τὴν ἐν τῷ υἱῷ, ἥ ἐστιν ἐν υἱῷ, δεῖ εἶναι ἐν τῷ πατρὶ, ἵνα μὴ υἱὸς ὁ πατὴρ γένηται.

5 καὶ αὐτὴ προςέθηκα κατὰ σ. 123, 7: λείπουσι ΔΜ ᾗ ἔγραψα κατὰ σ 123, 7: ἣ ΔΜ 10 (καὶ κατωτέρω). γεννᾶν Δ: γεννᾷν Μ 10-11. ἐνεργητική ἐστι Μ: ἐνεργητικὴ ἐστὶ Δ 15. μέν ἐστιν Δ: μὲν ἐστὶν Μ 17 ἕν ἐστι Μ: ἓν ἐστὶ Δ ταὐτὸ Δ: ταυτὸ Μ 21. ἕν ἐστιν Μ: ἓν ἐστὶν Δ 24. ἥ ἐστιν Μ: ἣ ἐστὶν Δ

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2007

ΑΡΓΥΡΟΠΟΥΛΟΣ

Ὡς δὲ καὶ τὴν δύναμιν τὴν γεννητικήν.

ΑΓΑΛΛΙΑΝΟΣ

Εἰ μὲν οὖν ὁ πατὴρ ἐδίδου τῷ υἱῷ τὴν γέννησιν, ᾗ γεννᾷ, καὶ τὴν πρὸς αὐτὴν δύναμιν, ἔδει ἂν καὶ τὸν υἱὸν γεννᾶν· εἰ δὲ μὴ γεννᾷ ὁ υἱὸς, οὐδὲ τοιαύτην αὐτῷ δίδωσι δύναμιν καὶ ἐνέργειαν, ἀλλ' ἢ ἄρα τῶν ἀντικειμένων πως, ἤγουν τὴν τοῦ γεννᾶσθαι δύναμιν καὶ τὴν παθητικὴν γέννησιν. Τούτου οὖν λέγοντος, ὅτι ἡ γέννησις συνῆπται τῇ ἑαυτῆς δυνάμει, ᾗ ὁ υἱὸς γεννᾶται ἐκ τοῦ πατρὸς, ποτέραν γέννησιν καὶ ποτέραν δύναμιν δεῖ νοεῖν, τὴν ἐνεργητικῶς λαμβανομένην ἢ τὴν παθητικῶς; Μὴ διορισαμένου γὰρ τούτου, ἄπορος πάντως ὁ λόγος ἐστίν. Ἀλλὰ κατὰ τοὺς θεμελίους τῆς πίστεως καὶ ὡς ὑπαγορεύει τὸ ἀληθὲς εὐσεβὲς ἂν εἴη λέγειν ὡς, ὅταν ὁ λόγος πρὸς τὸν πατέρα τὴν ἀπόβλεψιν ἔχῃ, ἐκλαμβάνειν δεῖ τὴν δύναμιν καὶ τὴν γέννησιν ἐνεργητικῶς· ἴδιον γάρ ἐστι τοῦ πατρὸς τὸ γεννᾶν· ὅταν δὲ πρὸς τὸν υἱὸν, καὶ δύναμιν καὶ γέννησιν παθητικὴν δεῖ νοεῖν· ἴδιον γὰρ αὐτοῦ τὸ γεννᾶσθαι κατὰ τοὺς θεολόγους· γεννώμενος γὰρ τὸ εἶναι λαμβάνει διὰ γεννήσεως, καὶ διὰ τοῦτο υἱός.

Οὐκ εὐσεβὲς δ' ἂν εἴη λέγειν, ὅτι τὸ γεννᾶν λαμβάνει διὰ γεννήσεως, οὐ γὰρ καὶ πατήρ. Ὃ δὴ καὶ οὗτος ἀναγκαζόμενος ὁμολογεῖν, λέγει τὴν γεννητικὴν δύναμιν δίδοσθαι τῷ υἱῷ οὐχ ὡς δύναμιν, ἀλλ' ὡς τελειότητα. Ἀρκεῖ μὲν οὖν ἴσως ὅτι καὶ αὐτὸς ὁμολογεῖ μὴ ὡς δύναμιν τὴν γεννητικὴν δίδοσθαι τῷ υἱῷ, ἀλλ' ὡς τελειότητα· ἔλεγε δ' ὅμως ἐς δεῦρο, ὅτι τὴν γεννητικὴν δύναμιν ἔχει ὁ υἱὸς, ἤτοι τὴν τοῦ γεννᾶν, ἀντιφάσκων ἑαυτῷ· καὶ

4 (καὶ 9). ᾗ Μ: ἧ Δ   7. πως Μ: πῶς Δ   17. γάρ ἐστι Μ: γὰρ ἐστὶ Δ   24. ὁμολογεῖ ἔγραψα: ὁμολόγει Δ: ὡμολόγει Μ

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2007

οὐ μέχρι τούτου, ἀλλὰ καὶ τῷ Πνεύματι μεταδίδοσθαί φησι τῆς γεννητικῆς τε καὶ προβλητικῆς, οὐκ οἶδ' ὅ τι παθὼν καὶ πόθεν κινηθεὶς εἰς τοσαύτην ἀτοπίαν ἐμπεσεῖν καὶ τὰς θείας ὑποστάσεις οὕτως ἀτιμάσαι, δυνάμεων ἀνενεργήτων κοινωνοὺς ἀξιώσας αὐτὰς εἰπεῖν, ὃν τρόπον καὶ τὸ βρέφος λέγομεν δυνάμει γραμματικόν, ὡς τὸ Πνεῦμα αὖ ἐκ δυνάμεως προελθεῖν ἢ δυνάμει, ὅτε ἐγεννᾶτο ὁ υἱός, οὔπω τὴν ἐνέργειαν ἐχούσῃ συνημμένην αὐτῇ, ἀλλὰ τοῦ υἱοῦ γεννηθέντος ταύτην λαβούσῃ, καὶ ὅσα τοιαῦτα ἐτερατεύετο.

Νομίσειε δ' ἄν τις ἴσως, ὅτι, ἵνα μὴ ἡ τῆς οὐσίας ἑνότης διασπασθείη δεδιώς, τὸν λόγον οὕτω διέθετο, καί, τὰς δυνάμεις ταύτας τελειότητας τῆς φύσεως ἡγούμενος, ἐπίσης τῇ θείᾳ τῶν προσώπων Τριάδι διενείματο· ἀλλ' οὐκ ἐπίσης, εἴπερ τῷ πατρὶ μὲν μόνῳ μετὰ τῆς ἐνεργείας, τοῖς δὲ λοιποῖς ἀπράκτους καὶ κοινὰς δίδωσι· διὸ καὶ σφόδρα περιπέπτωκεν ὅθεν λίαν ἐξέφευγε. Πῶς γὰρ ἂν τῆς αὐτῆς εἴη οὐσίας τὰ μὴ τῇ αὐτῇ τελειότητι ἐπίσης ἐνεργοῦντα; Εἰ δὲ ἀρκεῖ πρὸς τὴν ἑνότητα τῆς οὐσίας τὸ ἔχειν τὸν υἱὸν τὴν γεννητικὴν ἄνευ ἐνεργείας, διότι συνέζευκται τῇ γεννήσει, τὸ δὲ Πνεῦμα τὸ ἅγιον ἔχει καὶ ἀμφοτέρας δίχα καὶ αὐτὸ τῶν ἐνεργειῶν, τίς ἡ ἀνάγκη τοῦ ἔχειν τὸν υἱὸν τὴν προβλητικὴν μετὰ τῆς ἐνεργείας, πολλῶν ἐντεῦθεν ἀτόπων φυομένων; Ἐσώζετο γὰρ ἂν καὶ οὕτως ἡ τῆς οὐσίας ἑνότης, ᾗ συναγωνίζεσθαι δοκεῖ, πρὸς τῷ καὶ τὰ ἄτοπα σιωπᾶσθαι. Ἀλλὰ μᾶλλον εἰ σύνεστιν ἡ γέννησις τῇ ἑαυτῆς δυνάμει, ἡ δὲ γέννησις κατ' ἐνέργειαν οὐ δέδοται τῷ υἱῷ οὐδὲ τῷ Πνεύματι, οὐδὲ ἡ δύναμις αὐτῆς, οὐδὲ τῷ υἱῷ ἄρα ἅμα τῷ προϊόντι, ὡς ὁ λόγος διὰ τῶν ἁγίων ἀπεδόθη.

Εἶθ', ὥσπερ αὐτὸς ἑαυτὸν ἀνατρέπων, Ὡς μεταδίδωσι, φησίν, ὁ πατὴρ τοῖς ἐξ αὐτοῦ τῶν δυνάμεων ὡς τελειοτήτων μόνον, οὐχ ὡς δυνάμεων.

Καὶ τίς ἂν εἴη τελειότης ἐν τῷ θεῷ, μὴ καὶ ἔργῳ τελειου-

1. μεταδίδοσθαί φησι Μ: μεταδίδοσθαι φησὶ Δ   4. ἀτιμάσαι Μ: ἀτιμᾶσαι Δ   19 (καὶ 29). τίς Μ: τὶς Δ   26. Εἶθ' Μ: Εἶθ' Δ   μεταδίδωσι, φησίν, Μ: μεταδίδωσί φησιν Δ

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2007

μένη ἢ καθ' ἣν οὐδέποτε ἐνεργεῖ ἡ ἐνέργειά ἐστι; Πότερον οὖν ἦν βέλτιον τὰς προακτικὰς δυνάμεις τῶν θείων προσώπων ἑνὶ προσώπῳ, τῷ πατρικῷ, ἀφορίζειν, ἵν' ἐκεῖνο μόνον ᾖ προάγον, τὰ δὲ λοιπὰ προαγόμενα, καὶ ἐν ἀρχῇ ἔλεγε καλῶς τοῦτο λέγων, τὰς δ' ἀνταποκρινομένας παθητικὰς ἀποδιδόναι τούτοις, οὐχ ἧττον δυναμένας εἰς τὸν τῆς ἰσότητος λόγον· οὐδὲν γὰρ εἰς τιμὴν τοῦ γεννῆσαι θεὸν τὸ ἐκ θεοῦ γεννηθῆναι, ὡςαύτως δὲ καὶ περὶ τοῦ Πνεύματος ἤ, ἵνα μόνον καὶ τὸν υἱὸν προβολέα κατασκευάσῃ, τὰς προακτικὰς δυνάμεις, αἳ ὡς ἰδιότητες ὑποστατικαὶ καὶ τοῦ πατρικοῦ προσώπου συστατικαὶ καὶ τῷ πατρὶ μόνῳ λογίζονται, δοῦναι τοῖς ἐξ ἑαυτοῦ προϊοῦσι, καὶ μετὰ τὸ τὸν πατέρα στερῆσαι τῶν ἑαυτοῦ, τότε καὶ τὰς ἐξ αὐτοῦ προϊούσας ὑποστάσεις καθυβρίζει, δυνάμεων αὐτὰς ἀνενεργήτων μετόχους εἰπών, καὶ μυρίων δεινῶν καὶ βλασφημιῶν ἀναπλήσει τὸ σύγγραμμα. Ἀλλὰ πάλιν, ὥςπερ ὑπὸ τῆς ἀληθείας συνελαυνόμενος, ἀφαιρεῖ ἀπὸ τοῦ υἱοῦ καὶ τοῦ Πνεύματος ἃ δέδωκεν. Ἢ τί ἄλλο βούλεται λέγων, ὅτι ὁ υἱὸς διὰ τοῦτο οὐ γεννᾷ, οὐδὲ τὸ Πνεῦμα ἢ γεννᾷ ἢ προβάλλει, διότι σύνεισιν αἱ τῶν προόδων ἐνέργειαι ταῖς ἑαυτῶν δυνάμεσιν; Εἰσὶ δὲ ἄρα ἐν τῷ πατρί, ὥςπερ αἱ ἐνεργητικαὶ πρόοδοι αἳ οὐ μεταδίδονται, οὐδὲ αἱ σύστοιχοι τούτων δυνάμεις, ἵνα μὴ ἄπρακτοι καὶ κεναὶ ὦσιν ἐν αὐτοῖς. Οὐκοῦν οὔτε τὸ πνεῦμα οὐδετέραν ἔχει δύναμιν· οὔτε γὰρ γεννᾷ, οὔτε προβάλλει, οὔτε τὸν υἱὸν δεῖ ἔχειν οὐδετέραν, ἐπεὶ μηδὲ τὴν ἑτέραν. Ἢ γὰρ ἄμφω ἢ μηδετέραν, ὥςπερ οὖν καὶ τὸ Πνεῦμα. Ἀλλ' ἐπενόησεν αὐτὸς ἀνάγκην, ᾗ παρίστησι τὸν υἱὸν ἔχειν τὴν προβλητικὴν δύναμιν τὴν ἐν πατρὶ αὐτῷ διδομένην διὰ γεννήσεως.

### ΑΡΓΥΡΟΠΟΥΛΟΣ

Αὐτὴ γάρ, ὅθ' υἱὸς παρῆκται, μήπω νοουμένου τοῦ Πνεύμα

1. ἐνέργειά ἐστι Μ: ἐνέργεια ἐστὶ Δ 3. ἀφορίζειν Μ: ἀψωρίζειν Δ 14. ἀναπλήσει ἔγραψα: ἀναπλῆ ΔΜ 21. οὔτε Μ: οὔτε Δ 24. μηδετέραν ἔγραψα: μηδ' ἑτέραν Μ: μὴδ' ἑτέραν Δ

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2007

τος ἐκπορεύεσθαι, καθάπερ πρόσθεν ἐλέγομεν, ἐκ πατρὸς δέδοται τῷ υἱῷ, μήπω τοῦ πατρὸς ὡς προβολέως αὐτῇ τὸ Πνεῦμα προάγοντος.

### ΑΓΑΛΛΙΑΝΟΣ

Τί φῄς, ἄνθρωπε; Ξυμβαίνουσιν ἄρα τῇ ἡμετέρᾳ νοήσει αἱ θεῖαι καὶ ἀκατανόητοι πρόοδοι τῶν ὑποστάσεων ἐκείνων τῶν θείων, καὶ χρόνος ἐνταῦθα θεωρεῖται καὶ τὸ πρότερον καὶ ὕστερον. Τί γὰρ ἄλλο βούλεται τὸ Δέδοται τῷ υἱῷ, μήπω τοῦ πατρὸς ὡς προβολέως τὸ Πνεῦμα προάγοντος; Ἀλλὰ ταῦτα μὲν ὡς προειλημμένα καὶ αὐτεξέλεγκτα καὶ προδήλως βλάσφημα οὐδὲ πολλῶν δέονται λόγων· πρὸς δὲ τὴν δευτέραν τῶν ἀποριῶν καὶ τὴν λύσιν αὐτῆς ἴωμεν.

Πῶς οὖν αἱ δύο ἀρχαί, δυοῖν ὄντων τῶν προβαλλόντων, ἢ πῶς οὐ ξυναλοιφή, εἰ δύο μία ἀρχή; Πρὸς δὴ τὴν τοιαύτην ἀπορίαν ἐπάγει μὲν πολλά, δοκῶν λύειν αὐτήν, οὐδὲν δὲ ὑγιές ἐστιν αὐτῶν. Διαιρεῖ μὲν γὰρ τὴν ἀρχὴν εἰς δύναμιν, ᾗ προάγει τὸ προαγόμενον πρόσωπον, καὶ εἰς τὸ πρόσωπον αὐτὸ ὃ προάγει, καὶ συμπεραίνων οἴεται μηδὲν εἶναι ἄτοπον, μηδὲ παραβλάπτεσθαι τὸ μοναδικὸν τῆς ἀρχῆς, εἰ δύο λέγοιντο πρόσωπα προβάλλοντα καὶ δύο ἀρχαὶ ὡς πρόσωπα, ἐπεὶ μιᾷ δυνάμει καὶ τῇ αὐτῇ τῷ ἀριθμῷ προβάλλουσιν.

Ἐρείδει δὲ τὸν λόγον καὶ πῶς; Τρεῖς ἀρχὰς εἶναι λέγων τῆς κτίσεως, τὸν πατέρα καὶ τὸν υἱὸν καὶ τὸ ἅγιον Πνεῦμα, μιᾷ δὲ ὅμως δυνάμει δημιουργεῖν, διὸ καὶ ἕνα εἶναι δημιουργόν. Καὶ καθ' ὁμοιότητα τούτου φησὶ μηδὲν κωλύειν καὶ δύο ἀρχὰς τὸν πατέρα λέγειν καὶ τὸν υἱὸν καὶ δύο προβάλλοντας, ἕνα δὲ ὅμως προβολέα τῷ μίαν ἐν ἀμφοῖν προβλητικὴν εἶναι δύναμιν, ὡςανεὶ ἔλεγεν, ὅτι τρεῖς ἂν λέγοιντο θεοὶ ὡς τρία πρόσωπα, μία ὅμως θεότης.

**1. δέδοται ἔγραψα κατὰ σ. 124, 7: δίδοται ΔΜ 6. θεῖαι Μ: θείαι Δ 15. ὑγιές ἐστιν Μ: ὑγιὲς ἐστὶν Δ 24-25. καθ' ὁμοιότητα Μ: καθομοιότητα Δ**

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2007

Ἀλλὰ τοὐναντίον ἅπαντες ἅγιοι λέγουσιν εὐσεβῶς, ὅτι αἱ τρεῖς ὑποστάσεις εἰσὶ μία τῆς κτίσεως ἀρχή, ὅτι κατὰ τὴν ἑνότητα τῆς οὐσίας αὐτῶν ἡ δημιουργικὴ πρόςεστιν αὐταῖς δύναμις καὶ ἐνέργεια, εἰ καὶ μὴ τῇ οὐσίᾳ παράγουσι τὴν κτίσιν εἰδικῶς. Ὥςτε ἐνταῦθα πρόδηλος ἡ τῆς ἀρχῆς ἑνότης ἐν τοῖς τρισίν, ὅτι καὶ πρόδηλος ἡ τῆς δυνάμεως κοινωνία, ὅτι οὐ κατὰ τὰς ὑποστάσεις, ἀλλὰ καθὸ ἕν εἰσι τῇ οὐσίᾳ τὴν κτίσιν παράγουσιν, ὥςτε καθὸ ἕν εἰσι τῇ δυνάμει, ἐκεῖ δὲ οὐχ οὕτως. Οὐ γὰρ οἷόν τε τὴν προβλητικὴν ταύτην δύναμιν οὐσιώδη φάναι ἐφόσον οὐ πρόςεστι καὶ τῷ Πνεύματι, προσωπικὸν δέ ἐστιν ὃ μή ἐστιν οὐσιῶδες καὶ ὅλη τῇ θείᾳ φύσει προςῆκον· προσωπικὴν δὲ δύναμιν ἐν πατρὶ καὶ υἱῷ μίαν εἶναι ἀδύνατον, οὐσιώδη δὲ καὶ ὅλῃ τῇ θείᾳ φύσει προςήκουσαν ἔτι ἀδυνατώτερον. Μέλλοι γὰρ ἂν οὕτως ἢ καὶ αὐτὸ τὸ Πνεῦμα προβάλλειν ἤ, ἔρημον οὐσιώδους δυνάμεως ὄν, μὴ ἐν τῇ ἑνότητι τῆς τοῦ πατρὸς καὶ υἱοῦ οὐσίας εἶναι.

Εἰ μὲν οὖν οἷόν τε ἦν τὴν προβλητικὴν δύναμιν ὑπάρχειν καὶ τῷ υἱῷ, καὶ μήτε ἡ τοῦ Πνεύματος θεότης ἐκινδυνεύετο, μήτε ἡ τῶν προσώπων διάκρισις, οὐδὲν ἂν ἦν χαλεπὸν διὰ τὴν διαίρεσιν ἣν τίθησι τῆς ἀρχῆς, τρόπον τινὰ μίαν ἀρχὴν τοῦ Πνεύματος εἰπὼν τὸν πατέρα καὶ τὸν υἱόν, ὅτι τῇ κοινῇ καὶ μιᾷ οὐσίᾳ τοῦτο προῆγον ἄν. Ἐπεὶ δὲ ἀδύνατον ὑπάρχειν τῷ υἱῷ τὴν τοιαύτην δύναμιν διά τε τὰ νῦν εἰρημένα καὶ ἄλλων πολλῶν ἕνεκα, ἃ παραλέλειπται χάριν συντομίας, οὐ διότι ἠδύνατο ἂν τρόπῳ μία εἶναι ἐν ἀμφοῖν, εἴ γε καὶ ἀμφοῖν παρῆν, διὰ τοῦτο πιστεύσωμεν καὶ τῷ υἱῷ ταῦτα προςεῖναι, παρὰ φαῦλον θέμενοι ἐκεῖνα δι' ὅσα ἀδύνατόν ἐστι προςεῖναι καὶ τῷ υἱῷ ταύτην, μέγιστα ὄντα καὶ οὐχ οἷα παρῶφθαι, ὧν ἔνια καὶ ἐν τοῖς εἰρημένοις ἐστὶ καὶ διὰ τῶν ἁγίων ἀποδέδεικται· οἷον τὸ ἰδιότητα τοῦ πατρὸς εἶναι τὴν ἀρχὴν καὶ τὸ αἴτιον καὶ τὸ γόνιμον καὶ τὰ τοιαῦτα κατὰ τοὺς

4. παράγουσι Μ: προάγουσι Δ 7 (καὶ 8). ἕν εἰσι Μ: ἓν εἰσὶ Δ 9 φάναι Μ: φᾶναι Δ 10. δέ ἐστιν Μ: δὲ ἐστὶ Δ μή ἐστιν Μ: μὴ ἐστὶν Δ 15. ἑνότητι Δ: θεότητι Μ

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2007

θεολόγους, οἷς οὐ συνᾴδει τὸ καὶ τὸν υἱὸν προβολέα εἶναι τοῦ Πνεύματος ἢ αἴτιον, ἢ ἀρχὴν ἢ συναίτιον ἢ ὅσα τοιαῦτα οἱ τὴν θεολογίαν τῶν ἁγίων παραφθείροντες ἐπισφαλῶς λέγουσιν. Ὥσπερ οὖν εἰ διὰ τὰ πρόσωπα, τρία ὄντα, τρεῖς ἐλέγομεν θεούς, τὴν πολυθεΐαν οὐκ ἂν ἐξεφύγομεν, κἂν ὁπόσον τῇ μιᾷ θεότητι καταφεύγωμεν, οὕτως οὐδὲ Λατῖνοι τὴν δυαρχίαν ἐκφεύξονται, ἕως δύο πρόσωπα δύο προβάλλοντας λέγωσι, κἂν διαρραγῶσι μίαν ἐν ἀμφοῖν δύναμιν προβλητικὴν εἶναι βοῶντες. Ὥσπερ γὰρ ἐκεῖνο πᾶσι τοῖς ἁγίοις ἀσεβὲς ἔδοξεν εἶναι, οὕτω καὶ τοῦτο πᾶσι σεσιώπηται.

Οὐκοῦν, ἐπεὶ τοῖς τοιούτοις οὐχ ἱκανῶς λύεται ἡ ἀπορία καὶ τὸ δύο ἀρχὰς λέγειν τὸν πατέρα καὶ τὸν υἱόν, φαῦλόν ἐστιν καὶ αἱρετικὸν καὶ τὸ μίαν ἀρχὴν τὰς δύο λέγειν ὑποστάσεις, καὶ τὴν συναλοιφὴν οὐ διαπέφευγεν· οἷς ἄρα περιπίπτει ὁ ταῦτα ἀξιῶν.

Καὶ δὴ τὸν λόγον τελειῶν πολλὰ μὲν περὶ ἑαυτοῦ μεγαλορρημονεῖ, ἐνίων τε κατεπαίρεται, τὴν ἐναντίαν δήπου τούτῳ φερομένων, κομπηροῖς τισι ῥήμασι λεληθότως τούτων καθαπτόμενος, ὧν ἡμῖν λόγος οὐδεὶς τοῖς γε σώφροσιν, ἀφιεῖσι τὴν κρίσιν τούτων ἐφ ᾧ πότερα ποτέροις προσήκει διαγνῶναι. Ἡμεῖς δὲ οὐ πρὸς τὴν καθόλου ὕλην τῆς μεταξὺ ἡμῶν τε καὶ Λατίνων διαφορᾶς τὸν παρόντα λόγον ἐνεστησάμεθα, ἵνα ἢ κατασκευάσωμεν τὸ ἑαυτῶν συμπέρασμα ἢ τὸ ἐκείνων ἀνέλωμεν λόγοις καὶ ἐπιχειρήμασι καὶ ἀπαγωγαῖς, ἃ δὴ καὶ πρὸς τὰς λύσεις ἥρμοττεν ἂν τῶν ἀποριῶν, ἃς ὡς ἐξ ἡμῶν τίθησιν· ἀλλὰ πρὸς τὰς ὑποθέσεις, δι᾽ ὧν οὗτος ἤλπισε κατασκευάσειν, ὁδῷ προβαίνων, τὴν δόξαν Λατίνων, τὰ δοκοῦντα μετὰ τῆς ἀληθείας προὐθέμεθα πρὸς τὴν τῶν ἁγίων θεολογίαν ταύτας παραβαλλόμενοι. Σὺν θεῷ δὲ εἰρήσθω, ἐδείξαμεν αὐτὰς διὰ τῶν διδασκάλων ἀπᾳδούσας καὶ ἀνενδέκτους καὶ ἄτοπά τινα συμπεραινούσας καὶ βλάσφημα, συνῳδοὺς δὲ μᾶλλον πολλαῖς τῶν αἱρέσεων ἢ καὶ αἱρέσεων ἀρχάς. Ἀρκεῖ γοῦν

**5.** καταφεύγομεν Μ: καταφεύγωμεν Δ **7.** λέγωσι ἔγραψα: λέγοντες ΔΜ **11.** φαῦλόν ἐστιν Μ: φαῦλον ἐστὶ Δ **16.** τισι Μ: τισὶ Δ **26.** παραβαλλόμενοι ἔγραψα: προβαλλόμενοι ΔΜ

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2007

ἐν τῷ παρόντι μηδὲν ἀναγκαῖον δεικνῦναι ὑποτιθέμενον. Τὸ δὲ ἐπαπορεῖν τῇ λατινικῇ δόξῃ καὶ αὐτοὶ λύσεις μεμηχάνηνται σκοπεῖν, πολλοῖς τε ἄλλοις γεγονέναι ἔργον, καὶ ἡμῖν ἴσως ποτὲ γενήσεται.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ
ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΔΙΕΥΘΥΝΤΗΣ: ΑΝ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ

1. δεικνῦναι ἔγραψα: δεικνύναι Μ: δκνῦναι Δ

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2007